*10 (56)

Schol. A(B) Il. M 292: Εὐρώπην τὴν Φοίνικος Ζεὺϲ θεαϲάμενοϲ ἔν τινι λειμῶνι μετὰ Νυμφῶν ἄνθη ἀναλέγουϲαν ἠράϲθη, καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰϲ ταῦρον καὶ ἀπὸ τοῦ ϲτόματοϲ κρόκον ἔπνει. οὕτω δὲ τὴν Εὐρώπην ἀπατήϲαϲ ἐβάϲταϲε καὶ διαπορθμεύϲαϲ εἰϲ Κρήτην ἐμίγη αὐτῆι· εἶθ' οὕτω ϲυνῴκιϲεν αὐτὴν Ἀϲτερίωνι τῶι Κρητῶν βαϲιλεῖ. γενομένη δὲ ἔγκυοϲ ἐκείνη τρεῖϲ παῖδαϲ ἐγέννηϲε, Μίνωα, Ϲαρπηδόνα καὶ Ῥαδάμανθυν. ἡ ἱϲτορία παρὰ Ἡϲιόδωι (fr. 30) καὶ Βακχυλίδηι.

## ΠΡΟϹΟΔΙΑ

11 (19)

metrum: aeolicum (cf. p. 28*).

*2 tr gl* | $^{2}$*gl cho* | $^{3}$*2 gl* || $^{5}$*3 cr ia* || $^{6}$δ | $^{7}$*gl*

Εἷϲ ὅροϲ, μία βˈροτοῖϲίν ἐϲτιν εὐτυχίαϲ ὁδόϲ,
θυμὸν εἴ τιϲ ἔχων ἀπενθῆ δύναται
διατελεῖν βίον· ὃϲ δὲ μυ-
ρία μὲν ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ' ἆμάρ τε ⟨καὶ⟩ νύκτα μελλόντων χάριν
αἰὲν ἰάπτεται
κέαρ, ἄκαρπον ἔχει πόνον.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40836470X/91 UNIVERSITÄT LEIPZIG